ροισι διὰ τῆς θαλάττης τὸν ἰχθὺν ζῶντα. ἴσασι δὲ τὰς εὐ-
νάς τε αὐτῶν καὶ διατριβάς. καὶ ὅπου ζῶσιν ἀγελάζον-
ται. μόλιβδος δὲ αὐτοῖς πεποίηται βαρὺς τὴν ὁλκὴν,
περιφερὴς τὸ σχῆμα. καὶ ἔχει μῆκος τριῶν δακτύλων.
καὶ διείληπται ἐξ ἄκρων σχοινίων καὶ ἐκ θατέρου ἤρτηται τοῦ
τεθηραμένου. καὶ κέντρον τις τῶν ἐν τῇ πορθμίδι
περιαρτήσας ἐπάγεται· σιδηροῦν τὸ στόμα. καὶ δὴ τοῦ
ἐχόμενα πέπρακται σκάρον ὁ κέντρος. βάπτεται δὲ
ἡσυχῇ οὗτος. λίθοις μεμιγμένας. οὐκοῦν οἱ ἐρασταὶ
ὥσπερ οὖν νύμφην ἐρωτικοὶ νεανίαι θεασάμενοι,
οἰστρῶνται καὶ μεταθέουσι. καὶ ἐπείγονται φθάσαι
ἄλλος ἄλλον. καὶ γενέσθαι πλησίον καὶ περιψαῦσαι.
ὥσπερ οὖν δὲ τὸ ἐρῶντες ἄνοι. φίλημα ἢ κνίσμα θηρώ-
μενοι, ἢ τι ἄλλο κλέμμα ἐρωτικόν. ὁ τοίνυν ἄγων τοῦ
θήλεος ἡσυχῆ, καὶ περιδονουμένους λοχῶν τε καὶ ἐφεδ-
ρεύων, ἐλθόντος τοῦ κέντρου σὺν τῇ ἐρωμένῃ φανείσης αὐτῷ,
ἐρασθεὶς ἄλλον. γινομένων δὲ ὁμοῦ τῶν κέντρων, τοῦ μὲν
μόλιβδον καθῆκεν ὁ θηρατὴς ἐς τὸ κάτω. ὁ δὲ ἄρα
ἐμπίπτων σὺν τῇ ὁρμιᾷ κατασπᾷ καὶ τὸν θῆλυν.
οὐκοῦν σὺν τοῖς δοκοῦσιν αὐτοῦ ἑάλωκασι. καὶ διδόασι δί-
κην ὁρμῆς ἀφροδισίου ταύτης οἱ σκάροι:· περὶ κεφάλου: γ

Οἱ ἰχθῦς ὁ κέφαλος τῶν ἐν αὐτοῖς ἤθεσι βιωσάντων ἐστί. καὶ Γ:
πεπίστευται τὴν γαστέρα κρατεῖν. καὶ διαιτᾶσθαι πάνυ
σωφρόνως. ζῷον μὲν γὰρ οὐκ ἐπιτίθεται. ἀγαθὸς